minima. Caſus autem eiuſdem: Dignus verò, qui ſtatuam habeat æream, cùm minimè dignus ſit ære. Idem verò nomen: Tu illi, cùm viueret, dicebas malè, & nunc ſcribis malè. A ſyllaba autem: Quidnam paſſus eſſes malum, ſi virum vidiſſes ignauum? Ac licet ſimul omnia idem habere. Et oppoſitionem eſſe idem, & compar, & ſimiliter deſinens. Principia verò periodorum fermè in Theodectiis enumerata ſunt. Ac ſunt etiam falſæ oppoſitiones, vt etiam Epicharmus faciebat: Interdum quidem cum illis ego eram: interdum verò apud illos ego.

CAPVT X.

QVoniam verò explicatum eſt de his, vnde ducantur vrbana, & quæ probantur, dicendum eſt. Ac fingere quidem eſt ingenioſi, vel exercitati: demonſtrare verò methodi huius. Dicamus igitur & enumeremus. Et principium erit nobis hoc, quod diſcere facilè iucundum omnibus natura eſt. Nomina verò ſignificant aliquid. Quare quæcunque ex nominibus efficiunt, vt diſcamus, iucundiſſima ſunt. Ac linguæ quidem incognitæ, propria verò ſcimus. Tranſlatio autem efficit hoc maximè. Cùm enim dixit ſenectutem ſtipulam, fecit, vt diſceremus, & cognoſceremus ex genere. ambo enim deflorüerunt. Ac faciunt quidem etiam poëtarum imagines idem. Quam ob rem ſi rectè adhibitæ fuerint, vrbanum apparebit. Eſt enim imago, vt dictum eſt prius, tranſlatio differens adiunctione. Itaque minus iucunda, quia longior, & non dicit hoc illud eſſe. Verùm ne quærit quidem hoc animus. Neceſſe iam eſt, & elocutionem, & enthymemata ea eſſe vrbana, quæcunque faciunt, vt nos diſcamus celeriter. Quam ob rem nec quæ in promptu ſunt enthymemata probantur (in promptu enim eſſe dicimus omnia nota, & quæ non oportet ſcrutari) nec quæcunque dicta ignorantur: ſed quorum aut ſimul dictorum cognitio fit, etiam ſi non prius eſſet: aut paullo poſt ſequitur mentis agitatio. Fit enim tanquam perceptio. Illo verò modo neutrum. Ac ſecundum quidem ſententiam eius, quod dicitur, talia probantur enthymemata. At ſecundum elocutionem in figura quidem ſi oppoſitè dicatur in hunc modum: Et aliis communem pacem exiſtimantibus, ſuis verò priuatis rebus bellum: opponitur bellum paci. Nominibus verò, ſi habeant tranſlationem: cámque neque alienã. difficile enim contueri:

A ἐλπίσι. πτῶσις δὲ ταὐτοῦ, Ἄξιος δὲ σταθῆναι χαλκοῖς, οὐκ ἄξιος ὢν χαλκοῦ. ταὐτὸ δ' ὄνομα, Σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν γράφεις κακῶς. ἀπὸ συλλαβῆς δὲ, Τί ἂν ἔπαθες δεινὸν, εἰ ἄνδρ' εἶδες ἀργόν. ἔστι δὲ ἅμα πάντα ἔχειν ταὐτὸ, καὶ ἀντίθεσιν εἶναι τὸ αὐτὸ, καὶ πάρισον, καὶ ὁμοιοτέλευτον. αἱ δ' ἀρχαὶ τῶν περιόδων σχεδὸν ἐν τοῖς Θεοδεκτείοις ἐξηρίθμηνται. εἰσὶ δὲ καὶ ψευδεῖς ἀντιθέσεις, οἷον καὶ Ἐπίχαρμος ἐποίει, B

Τόκα μὲν ἐν τήνοις ἐγὼν ἦν· τόκα δὲ παρὰ τήνοις ἐγώ.

Κεφάλαιον ι.

ΕΠεὶ δὲ διώρισται περὶ τούτων, πόθεν λέγεται τὰ ἀστεῖα, καὶ τὰ εὐδοκιμοῦντα, λεκτέον. ποιεῖν μὲν οὖν ἐστὶ τοῦ εὐφυοῦς, ἢ τοῦ γεγυμνασμένου· δεῖξαι δὲ, τῆς μεθόδου ταύτης. C εἴπωμεν οὖν καὶ διαριθμησώμεθα· ἀρχὴ δ' ἔστω ἡμῖν αὕτη· τὸ γὰρ μανθάνειν ῥᾳδίως, ἡδὺ φύσει πᾶσιν ἐστί· τὰ δὲ ὀνόματα σημαίνει τι· ὥστε ὅσα τῶν ὀνομάτων ποιεῖ ἡμῖν μάθησιν, ἥδιστα. αἱ μὲν οὖν γλῶτται, ἀγνῶτες· τὰ δὲ κύρια, ἴσμεν. ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα· ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐποίησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ D γένους· ἄμφω γὰρ ἀπηνθηκότα. ποιοῦσι μὲν οὖν καὶ αἱ τῶν ποιητῶν εἰκόνες τὸ αὐτό· διόπερ ἂν εὖ, ἀστεῖον καὶ φαίνεται. ἔστι γὰρ ἡ εἰκὼν, καθάπερ εἴρηται πρότερον, μεταφορὰ διαφέρουσα προσθέσει· διὸ ἧττον ἡδὺ, ὅτι μακροτέρως· καὶ οὐ λέγει ὡς τοῦτο ἐκεῖνο· οὐκοῦν οὐδὲ ζητεῖ τοῦτο ἡ ψυχή. ἀνάγκη δὴ καὶ λέξιν, καὶ ἐνθυμήματα ταῦτα εἶναι ἀστεῖα, ὅσα ποιεῖ ἡ-E μῖν μάθησιν ταχεῖαν. διὸ οὔτε τὰ ἐπιπόλαια τῶν ἐνθυμημάτων εὐδοκιμεῖ· ἐπιπόλαια γὰρ λέγομεν τὰ παντὶ δῆλα, καὶ ἃ μηδὲν δεῖ ζητῆσαι· οὔτε ὅσα εἰρημένα ἀγνοούμενά ἐστιν, ἀλλ' ὅσων ἢ ἅμα λεγομένων ἡ γνῶσις γίνεται, καὶ εἰ μὴ πρότερον ὑπῆρχεν, ἢ μικρὸν ὑστερίζει ἡ διάνοια· γίγνεται γὰρ, οἷον μάθησις· ἐκείνως δὲ, οὐδέτερον, κατὰ μὲν οὖν τὴν διά-F νοιαν τοῦ λεγομένου, τὰ τοιαῦτα εὐδοκιμεῖ τῶν ἐνθυμημάτων. κατὰ δὲ τὴν λέξιν, τῷ μὲν σχήματι, ἐὰν ἀντικειμένως λέγηται, οἷον καὶ τῶν τοῖς ἄλλοις κοινὴν εἰρήνην νομιζόντων τοῖς αὑτῶν ἰδίοις πόλεμον· ἀντίκειται πόλεμος εἰρήνῃ. τοῖς δ' ὀνόμασιν, ἐὰν ἔχῃ μεταφοράν· καὶ ταύτην μήτ' ἀλλοτρίαν· χαλεπὸν γὰρ συνιδεῖν· μήτ' ἐπι-